τοῦτον ἵνα μὴ ταλαιπωροῖτο μηδ' ἄχθος φέροι[1]), φηςὶν ὁ Ξανθίας, ἐπ' ὄνου μὲν ἐποχούμενος, τοῖς ὤμοις [δὲ] φέρων τὰ σκεύη· οὐ γὰρ φέρω ἐγώ; [καὶ ὁ Διόνυσος· πῶς φέρεις καὶ βαστάζεις ὅςτις ὀχῇ καὶ βαστάζῃ ὑπὸ τοῦ ὄνου; καὶ ὁ Ξανθίας· πῶς φέρω; λέγει, φέρων καὶ βαστάζων ταῦτα· Τίνα τρόπον, φηςὶ, βαστάζεις ταῦτα· ἤτοι ἐποχούμενος ὄνῳ πῶς βαστάζεις αὐτά; καὶ ὁ Ξανθίας· βαρέως πάνυ.] καὶ ὁ Διόνυσος· οὔκουν καὶ οὐχὶ τὸ βάρος ὃ[2]) φέρεις cὺ καὶ βαστάζεις, φέρει ὁ ὄνος[3]), ὡς βαστάζων cε; καὶ ἅμα τῷ φαινομένῳ φηςὶ τὰ στρώματα ἃ βαστάζεις cὺ καὶ τὸ τούτων βάρος[4])· ἐςχηματιςμένως δὲ τὸ βάρος τῶν διδύμων· ἤτοι τὸ βάρος τῶν στρωμάτων καὶ τῶν cῶν διδύμων τὸ βάρος οὐ φέρει καὶ βαστάζει ὁ ὄνος; καὶ ὁ Ξανθίας· οὐ μὰ τὸν Δία (φηςὶ) πρὸς ἀμφοτέραν[5]) τὴν διάνοιαν, οὐχὶ ὁ ὄνος φέρει ὁ ἐγὼ φέρω βάρος. [νῦν οἱ παλαιοί φαςι καὶ καλῶς ἄρα· τινὲς εἰς τὸ φέρω δύο στιγμὰς ποιοῦςι. πῶς γὰρ φέρεις, φηςὶν ὁ Διόνυσος, ὃς ὑφ' ἑτέρου φέρει; ὁρᾷς ἄκαιρον φλύαρον, καὶ ἀνωτέρω γὰρ ἄνωθεν τοῦτο εἶπε· πῶς φέρεις ὅς γ' ὀχεῖ; τέως γοῦν] τοῦ Διονύσου[6]) εἰπόντος· πῶς λέγεις φέρειν φερόμενος ὑφ' ἑτέρου; οὐκ οἶδα, φηςὶν ὁ Ξανθίας, ὁ δ' ὦμος οὑτοςὶ πιέζεται. καὶ πάλιν πρὸς αὐτὸν ὁ Διόνυσος· ἐπεὶ λέγεις μὴ ὠφελεῖν cε τὸν ὄνον, ἐν τῷ μέρει καὶ ἐκ μέρους καὶ ἀκαριαίᾳ[7]) χρόνου ῥοπῇ ἄρας[8]) cὺ τὸν ὄνον βάσταξον[9]). Καὶ ὁ Ξανθίας φηςίν· οἴμοι κακοδαίμων, ὅτι δύο μεθύςοις παραληροῦςιν ἐνέτυχον νῦν[10]), Διονύςῳ καὶ κωμικῷ ποιητῇ· τί γὰρ οὐκ ἐναυμάχουν· εἰ γὰρ ἐναυμάχηςα, ἢ κατὰ τοὺς παλαιοὺς ἐν τῇ περὶ Ἀργινούςας κατὰ Λακώνων ναυμαχίᾳ, ἢ κατὰ Τζέτζην περὶ Σαλαμῖνα[11]) κατὰ Περςῶν,

βαστάζω
ἱππεύεις

τίνα τρ.] καταλέγεις βαστάζειν

ἐςχηματιςμένον. τῶν cῶν διδύμων καὶ τῶν στρωμάτων.

μὰ τὸν Δία οὐ] φέρει ὁ ὄνος

ἐν ταῖς ἐπὶ Ἀργινούςαις κατὰ Λακώνων ναυμαχίᾳ, ἢ ἐπὶ Σαλαμῖνα κατὰ Περςῶν οἱ ναυ-

1) μηδὲ φορτίον φέροι U. 2) ὅπερ U. 3) ὁ ὄνος φέρει U. 4) τὸ τοιοῦτον βάρος U. 5) ἀμφοτέραν φημὶ U.Ambr. 6) τοῦ δὲ Διον. U. 7) ἀκαριαίου U. 8) ἆρα U. 9) βάσταζον U. 10) ἐνέτυχον παραλ. νυνὶ Ambr. 11) π. τὴν Σαλ. Ambr.

ἠλευθερώθηcαν γὰρ πάντεc[1]) οἱ Ἀθηναίοιc cυνναυμαχήcαντεc δοῦλοι, ἤ τ' ἂν καὶ ὄντωc ἂν ἐκέλευόν cε μακρὰ καὶ μεγάλα κωκύειν (Cαλαμῖνι περιὼν, καὶ παραληροῦντι coι οὐκ ἂν οὔτ' ἠχθηφόρουν ἄχθοc καταγέλαcτον καὶ ἀγοραῖον οὔτ' ἂν cυνόλωc ἐπείcθην coι).

[35. κατάβα πανοῦργε: κατάβηθι λέγεται. τὸ χ δὲ γράφεται, ὅτι τοῦτο ξεννοτέρωc (sic) ἀντὶ τοῦ κατάβηθι κατάβα εἶπε. ὁ δὲ Τζέτζηc δωρικῶc φηcι, κατάβαθι, οἱ γὰρ Δωριεῖc κατάβαθι λέγουcι, καὶ ἀποκοπῇ κατάβα· „ὥcπερ ὁ Βελλεροφῶν Πελοποννacιcτὶ λαλεῦμι." (Theocr. XV, 91.)]

[37. παιδίον, παῖ, ἠμί, παῖ: ὁ Διόνυcοc κόπτει καὶ πλήττει τὴν θύραν Ἡρακλέουc[2]) καὶ καλεῖ τινα δοῦλον ἐξελθεῖν Ἡρακλέουc, παῖc γὰρ καὶ ὁ υἱόc, κυριωτέρωc δὲ ὁ δοῦλοc.]

[38. ἀcυντορήτου τῆc πληγῆc γεγονυίαc Ἡρακλῆc εἰθιcμένοc Γίγαcι πολεμεῖν καὶ Κενταύροιc· κενταυρικῶc τίc, φηcί, τὴν θύραν ἐπάταξεν ἀκόcμωc. ὁ Διόνυcοc δ' ἔτι ἑcτὼc ἔξω ἀκούcαc τοῦδε τοῦ ῥήματόc φηcι τῷ Ξανθίᾳ· ὁ παῖc, ἀντὶ τοῦ ὦ παῖ Ξανθία, ἐνεθυμήθηc καὶ νενόηκαc ὡc πάνυ ἐμὲ ὁ Ἡρακλῆc ἐπτοήθη; καὶ ὁ Ξανθίαc ἢ ἐπιτιμῶν αὐτῷ φηcι· „cίγα μὴ μαίνοιο", ἢ „ἐφοβήθη cε, μὴ ἄρα μανικῷ κατάcχετοc εἶ τῳ νοcήματι". ἐξιὼν δὲ ὁ Ἡρακλῆc καὶ οὕτωc ἰδὼν ἐcτολιcμένον δάκνει τὰ χείλη, μὴ γελᾶν δ' οὐκ ἰcχύει.]

46. ὁρῶν λεοντῆν (ἐπὶ κροκωτῷ): ὁ Διόνυcοc ὡc μέλλων ἐc Ἅιδου κατεληλυθέναι κατὰ μίμηcιν Ἡρακλέουc ἐνδύεται μὲν λεοντῆν, λαμβάνει καὶ ῥόπαλον, φορεῖ δὲ καὶ cτολὴν τὴν Διονυcιακὴν τὴν θηλυπρεπῆ τε καὶ ἔκλυτον, κροκωτὸν ποικίλον ἱμάτιον οὐ cτρατιώταιc[3]) οἰκεῖον ἀργοῖc δὲ καὶ τρυφῶcι καὶ πλέον γυναιξὶν ἀνειμένον, καὶ κόθορνον,

μαχήcαντεc πάντεc δοῦλοι ἐλεύθεροι. gl. marg.
ὄντωc μεγάλα

δωρικῶc

τραπέcθαι] ἐλθεῖν

ἰcχυρῶc
ὅcτιc] ὑπάρχειc

ὦ παῖ ἀττικῶc
οὐκ ἤκουcαc
ἐφοβήθη ὁ Ἡρακλῆc

μὴ μαίνου διὰ τὸν
δάκνω] κρατῶ δαιμόνιε] εὐτυχέcτατε τι] κατὰ
45. δυνατόc εἰμι

ποικίλῳ ἱματίῳ ἐπάνω κοκκίνῳ καὶ τὸ cυνῆλθον Zu v. 47 hat U die glosse: κόθορνοc ἀπὸ τοῦ κεῖcθαι ὀρθῶc ἀμφοτέροιc τοῖc ποcίν nicht nur marg. sondern auch als schol. zwischen schol. 34 und 46.

---

1) ἐλεύθεροι γ. π. U. ἐλευθερωθεὶc γὰρ ὡc καὶ πάντεc Ambr. 2) Ἡρακλέα cod. 3) cτρατιώτην U.

ἐπαμφοτεροδέξιον[1]) ὑπόδημα καὶ προςφυέςτατον ἀμφοτέροις ποςὶν, ὁποῖα νῦν ἱερουργοῦντες οἱ κοςμιώτεροι θυηπόλοι ὑποδιδύςκονται, ὅθεν καὶ Θηραμένης, εἷς τῶν τυράννων [τῶν τριάκοντα], μαθητὴς δὲ γεγονὼς Εὐριπίδου, ἐλέγετο κόθορνος ὡς ἀναρριπίζων κατὰ τοῦ δήμου μὲν τοὺς τριάκοντα, κατὰ τούτων δὲ τῶν τυράννων τὸν δῆμον.

47. τίς ὁ νοῦς: ἤτοι ποία διάνοια καὶ τί βουλευόμενος[2]) τὴν ςύνθετον ἔςχες ταύτην[3]) ςτολήν, τὴν Διονυςηράκλειον[4]) μᾶλλον δὲ τὴν[5]) ἱματιοκένταυρον[6]);

48. ἐπεβάτευον Κλειςθένει: ὁ Κλειςθένης ἦν οὗτος υἱὸς Cιβυρτίου λεῖος τὸ γένειον[7]), ἐπ' αἰςχρότητι καὶ παςχητίᾳ κωμῳδούμενος. νῦν [οὖν] εἰς τοῦτον τὸν ἄνθρωπον λοιδορεῖν[8]) θέλων ἐπαμφοτερίζούςας εἰςφέρει τὰς λέξεις[9]). νεωςτὶ γὰρ αὐτοῦ ςτρατηγήςαντος καὶ ναυμαχίᾳ[10]) νικήςαντος εἰςφέρει τὸν Διόνυςον τῷ μὲν φαινομένῳ πρὸς Ἡρακλέα ταδὶ λέγοντα· ςτρατηγοῦντος Κλειςθένους τῇ κατὰ ςτόλον μάχῃ κἀγὼ ἐπεβάτευον αὐτῷ, ἤτοι τῶν ἐπιβατῶν εἷς ἦν, καὶ νενικήκαμεν τῇ ναυμαχίᾳ, ἢ δώδεκα ἢ τριςκαίδεκα τῶν ἐναντίων βυθίςαντες ναῦς. ἐν τῇ τριήρει γοῦν ἀναγινώςκοντί μοι τὴν Ἀνδρομέδαν κατέςχε με[11]) πόθος ἄρρητος Εὐριπίδου, καὶ κατεπίθυμος ἐκείνου τόςον γινόμενος, κατελθεῖν ἐθέλω πρὸς Ἅιδην καὶ τοῦτον ἀνενεγκεῖν. δέομαι γοῦν δεξιοῦ[12]) ποιητοῦ, οἱ μὲν γὰρ τεθνήκαςιν, οἱ δὲ ζῶντες[13]) φαυλότατοι. οὗτος ὁ νοῦς τοῦ λόγου ἐςτὶν [ὁ μὴ κρυπτόμενος, ἤτοι] ὁ φαινόμενος. τὸ δὲ κρυπτόμενον τῷ ςχήματι [δὲ] δηλούμενον νοεῖν ἐςτιν αἰςχρῶς τὸ ἐπιβατεύειν, ὃ λέγεται μεταφορικῶς ἀπὸ τῶν ἀλόγων, ἃ ςυνουςιάζει ἐπαναβαίνοντα. οὗτος μέν ἐςτιν ὁ τοῦ λόγου πᾶς νοῦς, ἤδη δὲ καὶ

ἔπλεον ςὺν τῷ

ἀναμιμνηςκομένῳ
ἐκίνηςε θαυμαςτικόν

ἢ διὰ τοῦ (sic) ςυνεγενόμην

1) ἐπαμφοτερίζον Ambr. 2) βουλόμενος U. 3) ταύτην ἔςχε U. 4) διονυςηρακλείαν U. 5) τὸν Ambr. 6) ἱματοκένταυρον U. 7) υἱὸς διβύργου λεῖον τὸ γένειον ἔχων U. 8) κωμωδεῖν θέλων Ambr. 9) καὶ τὰς λέξεις Ambr. 10) ναυμαχίας Ambr. 11) μοι U. 12) δέομαι τοῦ δεξ. U. δ. γὰρ δ. Ambr. 13) οἵ γε νῦν ὄντες Ambr.

Digitized by Google

τῶν κατὰ μέρος λεκτέον μοι [τὰ] κεχρημένα ἐξηγήσεως.

51. σφὼ καὶ ὑμεῖς, φησὶν [ὁ] Ἡρακλῆς, κατεδύσατε τριήρεις πολεμίων; καὶ ὁ Διόνυσος· νὴ τὸν Ἀπόλλω. καὶ πάλιν ὁ Ἡρακλῆς· κᾆτ' ἔγωγ' ἐξεγειρόμην[1]), διαγελῶν δῆθεν ὅτι νενικήκασι ναυμαχίᾳ, ὡσεὶ ὀνείροις γὰρ τοῦτο εἶδον, φησίν· ὑμεῖς μὲν[2]) ὀνείροις νενικήκατε ναυμαχοῦντες· καὶ ἔγωγε ἀνιστάμην τοῦ ὕπνου.

55. σμικρὸς ἡλίκος Μόλων: δύο Μόλωνες ἦσαν, ὁ λωποδύτης τὸ σῶμα βραχὺς καὶ ὁ ὑποκριτὴς περὶ οὗ φησι νῦν· ἦν γὰρ πάνυ μέγας τῇ ἡλικίᾳ.

57. ἰατταταί: ἀκούσας [ὁ] Διόνυσος ἐρωτώμενος εἰ ἀνδρὸς ἠράσθη, σχετλιάζων οὕτω φησί. καὶ ὁ Ἡρακλῆς πάλιν· ἆρα συνεγένου τῷ Κλεισθένει; συγγενέσθαι τὸ σεμνὸν[3]) συνδιάγειν συλλαλεῖν.

58. οὐ γὰρ ἀλλ' ἔχω κακῶς: (ἀντὶ τοῦ) καὶ γὰρ ἔχω κακῶς[4]). [ὁ δὲ ἀλλὰ παρέλκει ἀττικῶς.]

62. ἐπεθύμησας ἐξαίφνης ἔτνους: δι' αἰνίγματος δῆθεν ἐμφαίνει τὸ περιττὸν τοῦ πόθου. ἔτνος δὲ αὐτὸς οὐκ ἀποκρύψω ὑμῖν τοὺς ἐρεικτοὺς [κυάμους] εἶναι ἐδόκουν. νῦν δὲ ἐφεῦρον ὡς [ἔτνος] καλεῖται τὸ πίσινον[5]) ὄσπριον. εἰ δέ τις καὶ τί ὁ πίσος[6]) τὸ ὄσπριον ἐθέλει μαθεῖν, ἴστω ὡς τὸ παρ' ἰδιώταις καλούμενον αὖχος ἐστίν, καὶ οὐχ ὥσπερ ἐγὼ [καὶ] περὶ τούτου φαύλως ἐνόμιζον, πίσον[7]) καλῶν τὴν γυμνὴν καὶ τετριμμένην κέγχρον. (τὴν μέχρι δὲ καὶ νῦν ἀγοραίαν καὶ φλύαρον ἀπεραντολογίαν τοῦ κωμικοῦ οὐχ οἷος ἔτι φέρειν[8]) εἰμί.)

64. ἆρ' ἐκδιδάσκω (τὸ σαφές): ἆρα, φησὶ τῷ Ἡρακλεῖ ὁ Διόνυσος, ἔγνως σαφῶς ἐκ τοῦ αἰνίγματος οὗ παρεθέμην σοι τὸ διάπυρον οὗ ἔχω πόθου;

ὑμεῖς τὸ ἐποιήσατε

ἀπὸ τοῦ ὕπνου

51. ὡς δὲ ὀνείροις τὰ τούτου εἶδον φησίν. οἳ μὲν ὀνείροις νενικήκατε ναυμαχοῦντες. καὶ ἔγωγε ἀνιστάμην τοῦ ὕπνου. U. marg.

οἷος

59. βλάπτει

ὁ λεγόμενος ὦχος ἤτοι πίστος

λέγω τοῦτο παριστάνω

65. γινώσκω

1) ἐξηγρόμην U. 2) ὡς δε ὀνείροις τὰ τούτου εἶδον φησίν: εἰ μὲν U. 3) σεμνῶς U; fort. leg.: συγγενέσθαι σεμνῶς μὲν τὸ συνδιάγειν συλλαλεῖν, αἰσχρῶς δὲ τὸ συνουσιάζειν. 4) καν pro κακῶς U. 5) πισσινοῦν codd. 6) πίσσος Ambr. πίστος U. 7) πίσσον Ambr. πίστον U. 8) φέρων U.

Digitized by Google

67. [Εὐριπίδου καὶ ταῦτα: οἱ πλείους τοὺς τρεῖς στίχους καὶ τὸ ἡμιστίχιον, ἀπὸ τοῦ „τοιουτοσὶ τοίνυν με“ μέχρι τοῦ „μ᾽ οὐκ ἐλθεῖν ἐπ᾽ ἐκεῖνον“ ἑνὸς προσώπου φασὶ τοῦ Διονύσου, τινὲς δὲ μέχρι τοῦ „Εὐριπίδου καὶ ταῦτα“, εἶτα τὸ „τοῦ τεθνηκότος“ λέγουσιν Ἡρακλῆς φησιν. Καὶ πάλιν αὐτοῦ Διονύσου τὸ „κοὐδείς γέ μ᾽ ἄν“.]

73. τοῦτο γάρ [τοι] καὶ μόνον: (ὁ) Ἰοφῶν οὗτος υἱὸς ὢν Σοφοκλέους ἠγωνίσατο καὶ ἐνίκησε λαμπρῶς ἔτι ζῶντος τοῦ πατρὸς αὐτοῦ. διὸ ὑποπτεύει μὴ ἄρα Σοφοκλέους ἦν τὸ ἀναγνωσθέν[1]).

78. οὔ, πρίν γ᾽ ἂν Ἰοφῶντα: εἰπόντος Διονύσῳ τοῦ Ἡρακλέους· εἴπερ ἐκεῖθεν καὶ ἀπὸ τοῦ Ἅιδου δεῖ καὶ χρεία ἐστὶν ἀγαγεῖν τῶν τεθνηκότων τινὰ ποιητῶν, πῶς οὐ μέλλεις ἀνάγειν τὸν Σοφοκλέα; φησὶν ὁ Διόνυσος· οὐκ ἀνάξω τὸν Σοφοκλέα, πρὶν[2]) *ἂν* ἄνευ Σοφοκλέους μόνον Ἰοφῶντα τὸν υἱὸν αὐτοῦ[3]) κωδωνίσω καὶ δοκιμάσω, [εἰ τὰ ποιήματα ἃ διδάσκει αὐτοῦ εἰσι καὶ οὐ τοῦ πατρὸς αὐτοῦ Σοφοκλέους. ὑπωπτεύετο γὰρ τοῦτο, τὰ τοῦ πατρὸς λέγειν. ἦν δὲ τῇ ἡλικίᾳ μακρὸς καὶ τὴν φύσιν ὑπόψυχρος. τὸ κωδωνίσω δὲ τὸ δοκιμάσω] μεταφορικῶς ἢ ἀπὸ τῶν κεραμεῶν ἀγγείων, ἃ δοκιμαζόμενα τῷ κρούεσθαι ὑγιᾶ πεφυκότα ἠχεῖ δίκην κώδωνος, ἢ ἀπό τινων ὀρνέων καὶ ἵππων δοκιμαζομένων ἤχῳ κωδώνων· τὰ μὲν γὰρ τούτων γενναῖα γενναίως φέρει τοὺς ἤχους, τὰ δὲ δειλὰ καὶ πτοιαλέα πεφρίκασι. καὶ ταῦτα μὲν ἰδιωτικώτερα [καὶ γνωριμώτερα]. τὸ δ᾽ ἀληθὲς καὶ κατὰ τὴν φύσιν τοῦ πράγματος· τὸ κωδωνίσω λέξις ἐστὶ στρατηγική[4]) τροπική. οἱ στρατηγοὶ γὰρ καὶ στρατοπεδείαις ὑπαίθροις καὶ ταῖς φρουραῖς [δὲ] τῶν πόλεων κώδωνας ἐξαρτῶσι λεπτοῖς μίτοις ἀπηωρημένα ἐκ διαστήματος, καὶ οὕτω θηρῶσιν[5]) ἐπ᾽ ἀμφοτέρων[6])

68. ἀττικὸν παρέλκον

72. θάνον οἱ ἀγαθοί ἐνταυθοῖ εἰσιν ἀμαθέστατοι

73. υἱὸς ἦν Σοφοκλέους, ὅς δόκησιν παρεῖχεν, ὅτι τοῖς τοῦ πατρὸς ἐχρῆτο ποιήμασιν ὡς οἰκείοις. U. mg.

74. ἐπίλοιπον ἀμφίβολον

77. τινὰ ποιητήν

78. κρατήσας

79. δοκιμάσω

1) τὸ ἀγωνισθέν U. 2) πλὴν U. 3) τὸν υἱὸν αὐτοῦ Ἰοφ. μόνον U. 4) τραγικὴ U. 5) θηράσειν U. 6) fort. leg. ἀπ᾽ ἀμφ.

Digitized by Google

κατασκόπους πολεμίων[1]) ἢ καὶ προδότας, ἐν μὲν ταῖς ὑπαίθροις στρατοπεδείαις ἡμέρας ἔτι τελούσης διὰ κηρύκων πάσῃ προμαρτυρόμενοι στρατιᾷ, ὑπηρετικῇ τε καὶ μαχίμῳ· „πᾶς ἢ τροφῆς ὑποζυγίων ἢ ἑτέρου[2]) χρείαν [ἔχων] τινὸς ἔτι οὔσης ἡμέρας καὶ χόρτον συλλεξάτω καὶ τὰ χρειώδη. ὃς δ' ἂν περὶ τὴν νῦν ἑσπέραν ἁλῷ τὸν χάρακα περιπορευόμενος[3]), τὴν κεφαλὴν τῷ ξίφει ἀποτμηθήσεται." οὕτω λοιπὸν ἠρεμούσης πάσης τῆς στρατιᾶς[4]), ἄν τις ἐπέλθῃ κατάσκοπος, προσκρούει τοῖς κώδωσι καὶ γεγονότος ἤχου κατέχεται τοῖς φρουροῖς· κἀπὶ τοῦ τείχους τῆς πόλεως εἴ τις ἐπαναβαίη λαθὼν οὕτως ἁλίσκεται, κἂν καὶ τῶν τῆς πόλεως τινὲς συνήργουν αὐτοῖς εἰς προδοσίαν τῆς πόλεως.

82. Σοφοκλῆς ἄπλαστος ἁπλοῦς

83. Ἀγάθων δὲ (ποῦ 'στιν): Ἀγάθων οὗτος ἦν δεξιὸς ποιητὴς κωμῳδίας, ἀγαθὸς τὸν τρόπον καὶ Σωκράτους διδάσκαλος, ἀνὴρ λαμπροτράπεζος, λέγεται δὲ ὅτι καὶ Πλάτωνος ὁ συμποσιακὸς λόγος ἐπὶ τῇ ἑστιάσει (τῇ) τούτου ἐγράφη, αὐτοῦ τε καὶ πολλῶν φιλοσόφων συνεστιαθέντων τῷ Πλάτωνι.

85. ἐς μακάρων (εὐωχίαν): ἤτοι τεθνηκὼς περὶ τὰς μακάρων ἐστὶ νήσους, ἃς Ἕλληνες περὶ χώραν Βρεττίαν εἶναι νομίζουσι, κειμένας περὶ τὰ βόρεια τοῦ ἑσπερίου ὠκεανοῦ. ὑπεμφαίνει δὲ καὶ τὸ ἁβροεύωχον τοῦ ἀνδρός, ἢ ὅτι Ἀρχελάῳ τῷ βασιλεῖ Μακεδόνων μετ' ἄλλων πολλῶν μέχρι καὶ τέλους συνῆν εὐωχούμενος.

86. Ξενοκλῆς: ὁ Ξενοκλῆς οὗτος υἱὸς ἦν Καρκίνου, τραγῳδίας ποιητής, ἀδελφοὶ δὲ αὐτοῦ Ξενότιμος καὶ Δημότιμος, ὑποκριταὶ ὀξυφωνότατοι, οἳ καὶ Καρκίνου δαίμονες (Nub. 1261) ἐλέγοντο. Ὁ ῥηθεὶς δὲ αὐτῶν ἀδελφὸς Ξενοκλῆς λέγεται ἀλληγορικὸς[5]) καὶ ἀνήδυντος εἶναι περὶ τὴν ποίησιν. οἱ μνημονευόμενοι δὲ τρεῖς ἦσαν Ξενοκλεῖς, δύο μὲν

86. υἱὸς ἦν Καρκίνου, τραγῳδίας ποιητὴς. ἀδ^{λ} δὲ Ξενιτι$^{μ'}$ καὶ Δημο^{τλ}. οἳ δαίμονες Καρκίνου ἐλέγοντο. U. mg.

1) πολεμίων κατασκόπους U. 2) ἑτέραν U. 3) παραπορευόμενος U. 4) τῆς στρ. πάσης Ambr. 5) ἀλληγορικῶς codd.

Digitized by Google

τραγικοί, ἕτερος δὲ πολιτικός τε καὶ ῥήτωρ, Φαύλλου υἱὸς Χολαργεὺς τῶν δήμων[1]).	
87. Πυθάγγελος: οὗτος τραγῳδίας ἦν ποιητὴς φαῦλος καὶ ἄσημος.	87. τραγῳδίας ποιητὴς φαῦλος καὶ ἄσημος. ὡς δοῦλον οὐκ ἀπολογοῦνται.
	89. περισσὸν
	90. ποιήσεις γράφοντα
91. Εὐριπίδου πλεῖν: λαλίστερα καὶ φλυαρώτερα καὶ στωμυλώτερα Εὐριπίδου πλεῖν καὶ πλέον ἢ [σταδίῳ καὶ] τετρακοσίων πηχῶν.	91. στάδιον εὐφυέστατα φλυαρώτατα
92. [ἐπιφυλλίδες]: ἐπιφυλλίδες εἰσὶ [τὰ] μικρότατα πάνυ τῶν σταφυλῶν βοτρυδίσκια, ὡς δυνάμενα ῥαδίως φύλλοις καλύπτεσθαι. ἢ τὰ πρὸς αὐτοῖς τοῖς φύλλοις κρεμάμενα.	92. φλυαρήματα
93. χελιδόνων μουσεῖα: βάρβαρα στωμύλα[2]) ὀχλώδη πολύγλωσσα ἀτερπῆ μοῦσαν[3]) ἔχοντα καὶ συγγραφὰς λόγων, ὡς ἀτερπεῖς καὶ θορυβώδεις εἰσὶν αἱ τῶν χελιδόνων φωναί, οὐ κατὰ κύκνον δὲ ἢ ἀηδόνα φθεγγόμεναι τερπνὰ μέλη καὶ (γλυκύτατα ἢ) λιγυρώτατα.	93. ὀχλήσεις
λωβηταὶ [δὲ] τέχνης: διαφθορεῖς καὶ ἀφανισταὶ τῶν τεχνῶν[4]), λέγει δὲ τῆς τραγῳδίας καὶ κωμικῆς.	ἀφανισταὶ φθορεῖς

Vergleichen wir diese proben mit den entsprechenden stücken § 28 des alten scholiencorpus, so sehen wir, dass Tzetzes dieses allerdings benutzt hat, aber in sehr freier weise, und zwar zu den Wolken noch freier als zu den Fröschen. In dem commentar zu den Wolken sind die alten scholien so benutzt, dass Tzetzes fast nie den wortlaut derselben aufgenommen hat, sondern ihren sinn mit anderen worten, meist kürzer, aber nicht ohne verständnis widergegeben hat; dagegen hat er in dem commentar zu den Fröschen den wortlaut der alten scholien oft wenigstens teilweise, mitunter fast gänzlich erhalten (vgl. z. b. zu 13. 15. 28. 48. 58. 73), während allerdings die freie benutzung der scholien auch hier überwiegt. Häufig wird in beiden commentaren, und zum teil mit recht, gegen die alten scholien polemisiert.

Bei dieser lage der dinge ist es klar, dass der commentar des Tzetzes als hilfsmittel für die herstellung der alten scholien nur mit

---

1) φαῦλος υἱὸς χολαργὲς τὸν δῆμον U. 2) καὶ στωμ. U. 3) ἀτερποὺς μουσῶν U. 4) κακῶν U.

grosser vorsicht zu benutzen ist. Mitunter scheinen dieselben ihm vollständiger und correcter vorgelegen zu haben, als uns, so zu Ran. 15. 35; im grossen und ganzen aber zeigt sich, dass seine vorlage dasselbe scholiencorpus war, das auch uns vorliegt; in welcher recension, wird noch zu untersuchen sein.

Welche quellen Tzetzes ausserdem noch benutzt hat, wäre zwar interessant zu untersuchen, doch wird diese untersuchung aufgeschoben werden müssen, bis sein commentar entweder vollständig oder doch in viel umfangreicheren proben publiciert ist als die vorstehenden, welche nur den zweck hatten, den ganzen charakter dieses commentars zu zeigen und eine vergleichung mit den alten scholien und den anderen byzantinischen scholien zu ermöglichen. Dass Tzetzes die im Ambrosianus M erhaltenen byzantinischen scholien benutzt zu haben scheint, haben wir schon oben s. 567 f. gesehen.

§ 29 Für den Plutus liegt mir leider ausser dem von v. Velsen aus dem Parisinus mitgeteilten stück nur meine abschrift aus dem Urbinas vor, nicht aber das betreffende stück aus dem Ambrosianus. Aber die vergleichung des Parisinus mit dem Urbinas ergiebt uns das überraschende resultat, dass uns hier zwei verschiedene commentare des Tzetzes zu ein und demselben stücke erhalten sind. Der commentar des Parisinus trägt im wesentlichen denselben charakter wie die beiden eben besprochenen zu Nubes und Ranae. Tzetzes benutzt die alten scholien in ganz freier weise, kürzend, ausdehnend, den ausdruck verändernd, und setzt zahlreiches eigene (zum teil paraphrase, aber nicht so häufig wie in dem commentar zu Ran.) hinzu.[1]) Dagegen ist der commentar im Urbinas ein im ganzen wortgetreuer und ziemlich ausführlicher auszug aus den alten scholien, dem nur hin und wider eine eigene bemerkung des Tzetzes zugefügt ist. (Mit dem von v. Velsen aus dem Par. mitgeteilten stimmt z. b. die bemerkung zu v. 10. 11 διcτακτικῶc εἶπεν κτλ.; anderes ist im Urb. singulär.) Das aus den alten scholien entnommene stimmt zum teil mit R, mehr aber mit V und giebt zum teil besseres als dieser; z. b. 5, 34 ἦμαρ ἄγηcιν V ἦμαρ ἔλῃcι U. 5, 36 μὴ ποιεῖν ἄρ' οὐ λέγεται V μὴ ποιεῖν ἃ βούλεται U. Beachtenswert zum mindesten ist, was U zu 9, 44 bietet: ἡ δὲ λέξιc τὸ θεcπιωδεῖν ἐτυμολογεῖται οἱονεὶ θεοεπαδεῖν, was ja natürlich corrupt ist, aber so herzustellen sein dürfte: ἡ δὲ λ. τ. θ. ἐτυμολογεῖται ⟨παρὰ τὸ θεόc καὶ ἐπί καὶ ᾄδειν⟩, οἱονεὶ θεοεπᾴδειν, und vielleicht findet so das wunderliche θεοπεδωδεῖν des Suidas und der Aldina seine erklärung (ἤτοι ὡμολόγηται ἡ λέξιc. τί τὸ θεcπιωδεῖν. ἢ πρὸc τὸ θεῖον ἐκεῖ τὰc μαντείαc ἄγειν V. .τυμολογεῖ θεcπιωιδεῖν παρὰ τὴν θέμιν ἐκεῖ τὰc μαντείαc ἄγειν R nach Martin. ἐτυμολογεῖται δὲ ἡ λέξιc παρὰ τὸ

1) Die bemerkungen, mit welchen v. Velsen seinen abdruck begleitet, sind ganz oberflächlich und zeigen, dass er von der überlieferung der scholien keine ahnung hat.

θεοπεδωδεῖν. ἢ παρὰ τὸ τὴν Θέμιν ἐκεῖ τὰς μαντείας ἄγειν Suid. ἡ δὲ λέξις ἠτυμολόγηται ἢ παρὰ τὸ θεοπεδωδεῖν ἢ παρὰ τὸ τὴν θεόμαντιν ἐκεῖ τὰς μαντείας ἄγειν Ald.).

Jedenfalls geht aus dem bemerkten hervor, dass die scholien des Urbinas zum Plutus zu den guten und directen quellen für die herstellung der alten scholien gerechnet werden müssen. Dies gilt aber nur von den randscholien: die interlinearglossen haben mit den alten scholien nichts zu thun.

In ähnlichem verhältnis zu den alten scholien stehen die scholien des Urbinas zu den Vögeln. Nur dass hier eine scheidung von scholien und glossen kaum gemacht werden kann, denn es sind lauter kurze glossenartige bemerkungen, und auch ein unterschied im wesen zeigt sich nicht. Diese bemerkungen sind grösstenteils wörtlich aus den alten scholien entnommen, nur selten ist der wortlaut geändert; es ist eben nur ein sehr dürftiger auszug. Eigene (meist paraphrasierende) zusätze des Tzetzes sind selten.

3. Die thomanotriklinianischen scholien.

Von den handschriften, welche ich untersucht habe, ist die § 30
haupthandschrift dieser classe, d. h. diejenige handschrift, in welcher dieselbe am reinsten zur darstellung kommt, der schon von Kuster (s. oben s. 561) erwähnte

codex Vaticanus 1294

von dessen betrachtung ich daher ausgehe.

Der band, welcher jetzt diese nummer trägt, vereinigt in sich zwei ganz verschiedene handschriften. Die erste von beiden ist die Aristophaneshandschrift, um die es sich handelt. Diese bombycinhandschrift des XIV. jahrh. enthält auf 111 blättern (0, 30:0, 20 m.) von ein und derselben hand prolegomena de comoedia und Aristophanes' Plutus Wolken Frösche Ritter, mit scholien. Sie hat stark durch feuchtigkeit gelitten und ist daher verschiedentlich geflickt, meist aber erst in diesem jahrhundert. Nur auf dem ersten blatte ist ein rundes stück schon im XVI. jahrh. eingesetzt. Die handschrift ist zu anfang und zu ende verstümmelt: es fehlt das erste blatt des ersten quaternio, sodass die handschrift jetzt mitten im satz beginnt, und es fehlt das ende der Ritter von v. 270 an, mit welchem das letzte blatt des 14. quat. endet.

Auf dem vorsetzblatt befindet sich folgende bemerkung des ehemaligen besitzers der handschrift, Fulvius Ursinus:

Ἀριστοφάνους κωμῳδίαι
πλοῦτος fol. 4
νεφέλαι fol. 35
βάτραχοι fol. 70 à t°.
ἱππεῖς fol. 105.

Aristofane, Le prime quattro Comedie, con scholij in margine sotto nome parte di Aristofane Grammatico, parte di Demetrio Triclinio, di mano del quale e scritto il libro: ristorato da Gio: Honorio. Organo d'Aristotele. Fragmento di Stefano de Vrbibus. in papiro in folio.
Ful. Vrs.

Wenn die angabe des Fulvius Ursinus, dass die handschrift von des Demetrius Triklinius eigner hand geschrieben sei, auf wahrheit beruhte, so wäre dies natürlich für uns von hohem wert. Indessen fehlen äussere indicien für diese behauptung, d. h. dahin lautende bemerkungen des schreibers der handschrift, vollständig. Solche bemerkung kann nun wol auf dem ersten oder letzten blatt der handschrift gestanden haben, die uns verloren sind. Aber dem Ursinus scheint die handschrift doch in derselben verstümmelten gestalt vorgelegen zu haben, wie uns, da er seine bemerkung auf das vorsetzblatt geschrieben hat, und eine inhaltsangabe des jetzigen bandes giebt. Er scheint also nur aus der schrift geschlossen zu haben. Das können wir auch, und wir haben ein sicheres mittel, die frage zu entscheiden, nämlich wenn wir die schriftzüge des Vaticanus mit denen des cod. Marc. 464 des Hesiod, der laut subscriptio von Triklinius eigenhändig geschrieben ist, vergleichen. Das habe ich getan, indem ich ein von mir selbst genommenes und ein von herrn dr. Heinrich Beckh freundlichst für mich angefertigtes facsimile des Vaticanus mit der phototypischen reproduction des letzten blattes des Marcianus bei Wattenbach-Velsen Exempla cod. Graec. tab. XXI und dem facsimile aus derselben handschrift bei Zanetti p. XIV verglich. Das resultat war ein negatives. Die schrift des Vaticanus hat mit der des Triklinius zwar eine gewisse ähnlichkeit, stellt aber sicher eine andere hand dar.

Dieser äussere anhalt hat sich also als trügerisch erwiesen, wir müssen aus dem inhalt der handschrift unsere folgerungen zu ziehen suchen. Ich gebe nunmehr zur beschreibung dieses inhalts über.

Das erste blatt ist, wie schon erwähnt, verloren. Aber dieser verlust wird uns ersetzt durch den cod. Laur. plut. 31, 4, welcher eine getreue copie des Vaticanus ist[1]), aus diesem entnommen, bevor er das erste blatt verlor, aber nachdem die letzten quaternionen verloren gegangen waren, denn zu den Rittern enthält auch der Laur. nur bis v. 269 scholien, obwol der text — aber von anderer hand — weitergeht.

Die erste seite des Vat. beginnt mitten in dem tractat des Demetrius Triklinius Dbn. prol. XVII (welcher im Laur. auch ausdrücklich die überschrift trägt Δημητρίου τοῦ Τρικλινίου). Voraus-

1) Allerdings eine verstümmelte, denn von den Wolken sind 5 lagen des von erster hand geschriebenen verloren gegangen und durch eine andere hand ersetzt worden, welche für text und scholien eine andere vorlage benutzt hat.

gegangen war nach ausweis des Laurentianus das auch in der Aldina (s. oben s. 559) die prolegomena eröffnende stück: Ἐκ τοῦ ἐγχειριδίου Ἡφαιστίωνος ἐπιτομὴ τῶν ἐννέα μέτρων. Auf den tractat des Demetr. Trikl. folgen in Vat. Laur.: Ἐκ τῶν Πλατωνίου περὶ διαφορᾶς κωμῳδιῶν (Dbn. I). Τοῦ αὐτοῦ περὶ διαφορᾶς χαρακτήρων (Dbn. II). Περὶ τῆς κωμῳδίας (Dbn. V). Ἄλλως περὶ κωμῳδίας (Dbn. VI). Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Θωμᾶ τοῦ μαγίστρου σύνοψις τοῦ τε βίου Ἀριστοφάνους καὶ τῆς τοῦ δράματος ὑποθέσεως (Dbn. XV). Ἡ ὑπόθεσις τοῦ παρόντος δράματός ἐστιν αὕτη (hyp. Plut. I). Τὰ δὲ πρόσωπα αὐτοῦ ἐστι ταῦτα (ind. pers. Plut.).

Mit s. 4r beginnt der Plutus, mit s. 35r die Wolken (denen auf s. 34v vorausgeht hyp. VIII mit der überschrift τοῦ αὐτοῦ σοφωτάτου μαγίστρου σύνοψις τῆς τοῦ δράματος ὑποθέσεως); es folgen von s. 70v die Frösche (vorausgeht auf s. 70r hyp. III mit der überschrift βατράχων ὑπόθεσις). Den beschluss machen die Ritter: voraufgehen auf s. 104v hyp. I. II (bis οἱ δύο z. 26). III, der text beginnt auf s. 105r.

Zu den ersten drei stücken sind ziemlich reichlich interlinearglossen und randscholien beigeschrieben, nicht immer genau zu unterscheiden, da manches scholion interlinear beginnt. Scholien und glossen sind von derselben hand (hin und wider, öfter nur im Plutus, finden sich einige wertlose glossen von jüngerer hand eingetragen). Die scholien sondern sich in drei classen: 1) metrische scholien: diese nehmen stets die hauptstelle ein und sind vor den anderen geschrieben: wenn viel scholien auf der seite stehen (denn meist bleibt noch viel platz übrig), so wird der breite äussere rand gewissermassen in zwei columnen geteilt, die äussere wird von den metrischen scholien eigenommen, die innere von den erklärenden (die dann also mehr wie intramarginalglossen erscheinen). 2) erklärende scholien mit der bezeichnung παλαιόν. 3) erklärende scholien ohne diese bezeichnung.

Bevor wir nun zu einer untersuchung dieser scholien übergehen, scheint es zweckmässig, auch von ihnen, wie von denen des Ambrosianus und den tzetzianischen, eine probe mitzuteilen. Ich lasse daher einen abdruck der scholien und glossen des Vaticanus zu den ersten hundert versen der Wolken und Frösche folgen. Die glossen sind, wie oben bei den scholien des Ambrosianus, eingerückt.

Schol. Vat. in Nubes 1—100.

1. Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σνθ΄, ὧν προτίθεται ἐν ἀρχῇ τοῦ δράματος κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον τὸ „ἰοὺ ἰού“. μετὰ δὲ τὸν σκα΄ τίθεται ἐν εἰσθέσει κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον καὶ μετὰ τὸν σλγ΄ ἕτερον κῶλον ἰαμβικὸν μονόμε- § 31

τρον βραχυκατάληκτον. τελευταῖος δὲ πάντων τούτων οὗτος· „καταπαττόμενος γὰρ παιπάλη γενήσομαι". ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος, ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνίς.

δυσφορῶν ὁ Στρεψιάδης ὑπὸ τῆς τῶν χρεῶν φροντίδος καὶ μὴ δυνάμενος ὑπνώττειν ταῦτα σχετλιάζων βοᾷ.

ἰαμβικὸν μονόμετρον ἀκατάληκτον.

προοίμιον σχετλιαστικὸν ἐκ τοῦ πράγματος.

2. ἤγουν αἱ νύκτες ἤγουν πολύ

vor v. 2: πρότασις

3. ἀτελές οἱ γὰρ ἀγρυπνοῦντες ὑπὸ φροντίδος τινὸς μεγάλας τὰς νύκτας λογίζονται.

4. τούτου γὰρ ἡ φωνὴ ἔμφασιν ἡμέρας παρίστησι

vor v. 4: κατασκευή

5. βαθέως ὑπνώττουσι

6. ἱστορία. φασὶν ὡς Ἀθηναῖοι Λακεδαιμονίοις ἐν Ἀργινούσαις ναυμαχήσειν μέλλοντες προεῖπον τοῖς δούλοις, ὡς εἴ τις αὐτῶν συμπαρατάξεται τῇ ναυμαχίᾳ, τιμῆς εἰς τὸ λοιπὸν ἀπολαύσοι. βοηθησάντων δὲ τῶν δούλων Λακεδαιμονίους ἐνίκησαν. καὶ ταῦτα μέν τινες φάσκουσι. τὸ δ' ἀληθὲς οὕτως ἔχει. Ἀθηναίοις καὶ Λακεδαιμονίοις πόλεμος ἦν. οὐκ ἤθελον δ' Ἀθηναῖοι τοὺς δούλους κολάζειν, εἴ τι πταίσαιεν, δεδιότες μὴ πρὸς Λακεδαιμονίους αὐτομολήσωσι. τὸ δὲ ὅτε ποτὲ μὲν μόνον χρόνον δηλοῖ, ποτὲ *δὲ* καὶ χρόνον καὶ αἰτίαν, ὥς ἐστι κἀνταῦθα.

7. ὅτ'] ἐπεὶ

9. τῆς νυκτὸς] ἐπὶ

10. ἀρχὴ γὰρ ἔαρος ἦν καὶ ἐνεκαλύπτοντο γούναις ἔτι. ἐντετυλιγμένος. κορδύλην γὰρ Κύπριοι λέγουσι τὸ ἐνείλημα τῆς κεφαλῆς.

11. τοῦτο πρὸς ἑαυτὸν λέγει

ῥέγκωμεν] ἀττικόν

ἐσκεπασμένοι

13. φάτνης] ἤγουν τῆς ἱπποτροφίας

14. τούτου γὰρ ἕνεκα ταῦτα ἐδανεισάμην

διὰ τουτονὶ τὸν υἱόν, φησίν, οὐ δύναμαι[1]) εὕδειν, οὗτος γὰρ αἴτιος, χρέα πολλὰ καὶ δαπάνην εἰς τὴν ἀσκουμένην αὐτῷ ἱπποτροφίαν ἐπενεγκών μοι, ὧν μεμνημένος ἄγρυπνος διατελῶ.

15. ἤγουν νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος ἅρματος ὀχούμενος ἄνω καὶ κάτω βακχεύει.

16. παλαιόν. ὀνειροπολεῖν ἐστι τὸ ὀνείρατα φαντάζεσθαι, ὀνειρώττειν δὲ τὸ ἐπὶ τῶν νυκτῶν αὐτομάτως ἀφιέναι γόνον, ὅπερ ἐπὶ τοῖς ἐν ἐπιθυμίᾳ τινὸς οὖσι συμβαίνει, δόξασι τοῖς παιδικοῖς συνεῖναι.

ἤγουν ἐν ὀνείρασι φαντάζεται.

---

1) δυνάμενος cod.

Digitized by Google

17. ἐπεὶ ἡ σελήνη ἐν ἡμέραις εἰκοσιεννέα τελεῖται, τὰ δὲ κ' τῶν εἰκοσιεννέα ἐγγύς, ἐδίδοντο δὲ ἐν τῷ τέλει τῆς σελήνης οἱ τόκοι, διὰ τοῦτο εἰκάδας εἶπεν. ἢ τὸ εἰκάδας μὴ νόει διὰ μόνα τὰ εἴκοσιν, ἀλλὰ καὶ διὰ τὰ ἐφεξῆς. τούτου γὰρ ἕνεκα πληθυντικῶς εἴρηται.

ἤγουν ἤδη εἰς τέλος ἰοῦσαν.

18. ἤγουν ἐγγύς ἐστι τὸ ἀποδιδόναι τούτους τοῖς δανεισταῖς.

20. λογαριάσω

21. παλαιόν: ὅτι ἡ μνᾶ ἔχει ἰταλικοὺς στατῆρας μ', οὐγγίας κ', ὁ στατὴρ δὲ νομίσματα γ', ὅ ἐστι δίδραχμα β', ὃ καλεῖται καὶ κοδράντης, ἡ δὲ δραχμὴ ἔχει κεράτια ιη', ἥτις οὐγγία καλεῖται. τὸ δὲ τάλαντον λίτρας ρκε' καὶ λεπτὰ ϛ'.

22. μὴ λάβῃς εἰς τὸ τοῦ ἔξωθεν τὸ ἕνεκα, ὡς οἴονταί τινες· ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ μνᾶς.

τίνος πράγματος ὀφείλω αὐταῖς

ἢ τὸ ἐχρησάμην ἀντὶ τοῦ ἐδανεισάμην.

23. ἵππον ἐν ᾧ ἐκεχάρακτο τὸ κ'

24. ἀφῃρέθην. παρὰ τὸν κοππατίαν δὲ παίζει εἰπὼν τὸ ἐξεκόπην

25. ἤγουν φίλε. τοῦτο δὲ καθ' ὕπνους ὁ νεανίσκος φησὶν καὶ διὰ τοῦτο ἀναρμόστως εἴρηκε.

27. κοιμώμενος

28. δέον εἰπεῖν πόσους δρόμους ἐλαύνει τὰ ἁμιλλητήρια, ἀντὶ τοῦ πόσοι δρόμοι εἰσὶ τῆς ἁμίλλης, ὁ δέ, ἐπειδὴ καθ' ὕπνους τοῦτ' ἔλεγε, πολεμιστήρια εἶπεν. ὁ γὰρ νοῦς τῶν ὀργάνων ἀργούντων τῷ ὕπνῳ εἰκῇ φέρεται.

καὶ τοῦτο καθ' ὕπνους λέγει

29. ἤγουν πολλὰς στροφὰς φροντίδων στρέφεσθαί με ποιεῖς διὰ τὰ χρέα.

30. δὲ ἦλθε κατέλαβε

31. ὀφείλονται ἤγουν ἅρματος τῷ

32. καὶ τοῦτο καθ' ὕπνους

ἐκβαλὼν τῆς ἁμίλλης, ἀπὸ τοῦ ἁλίζω τὸ συναθροίζω. οὐ κυλισθῆναι ποιήσας ὥς τινές[1]) φασιν.

33. ἐξέβαλες πραγμάτων

34. ἐπεί χρεωστῶ τοῖς δανεισταῖς ἕνεκα

35. ἐνέχυρον ἐξ ἐμοῦ λαβεῖν ἀληθῶς

36. φροντίζεις ἀγανακτεῖς. τοιαῦτα γὰρ πάσχουσιν οἱ φροντίδα τινὰ ἔχοντες.

37. δέον εἰπεῖν δάκνει με κόρις ἐκ τῶν στρωμάτων, οἱ γὰρ κόρεις ἐν τοῖς στρώμασιν ὄντες τοὺς ὑπνοῦντας δάκνουσιν, ὁ δὲ μεμνημένος ὅτι εἰς δικαστήριον ἥξει ὑπὸ τῶν δανειστῶν, δήμαρχος

1) Nämlich gl. M. Die erklärung findet sich bei Suidas und in der Aldina wider, ist also aus den alten scholien genommen.

φηcί. δήμαρχος δέ ἐςτιν ὁ τοῦ δήμου προςτάτης, ὅν φαςιν ἰδιωτικῶς δοῦκαν, ᾧ ἐξῆν ἐνεχυράζειν τοὺς ἀγνώμονας τῶν χρεωςτούντων.

ἄρχων τοῦ δήμου.

38. κοιμηθῆναι. κυρίως δὲ τὸ ἐπὶ δερμάτων κεῖςθαι.

41. ἡ τοῦ γάμου πρόξενος.

vor v. 41: προκατάςταςις

42. παρεκίνηςε

43. vor v. 43: διήγηςις

ἄγροικος κυρίως ὁ ἰδιώτης, ἀγροῖκος δὲ ὁ ἐν τῷ ἀγρῷ οἰκῶν. οἱ Ἀττικοὶ[1]) δὲ ἐναλλὰξ λέγουςι, ὥςπερ κἀνταῦθά ἐςτιν ἄγροικος ὁ ἐν τῷ ἀγρῷ οἰκῶν.

44. οἱ ἐν τῷ ἀγρῷ οἰκοῦντες ἄνθρωποι προβάτοις καὶ ἄλλοις ζώοις ἐνευθηνοῦντες, λέγω δὴ χοίροις μελίτταις καὶ λοιποῖς τοιούτοις, μεςτὸν ἔχουςι τὸν αὐτῶν οἶκον τυρῶν καὶ βουτύρων καὶ δερμάτων, ἃ ςκώληκας ἔςτιν ὅτε ποιοῦςιν διὰ ςῆψιν. οὐκ ἔχει δὲ ὁ τούτων οἶκος εὐθεςίαν τῶν τοιούτων πραγμάτων, ἀλλ' ἄλλο ἀλλαχῇ κεῖται ὡς ἔτυχεν.

ςεςημμένος ἀπὸ τοῦ εὐρῶς ὁ ςκώληξ.

ἀνεπιμέλητος ἀκαλλώπιςτος. κορῶ γὰρ τὸ ἐπιμελοῦμαι.

45. θάλλων

ςτέμφυλα λέγεται τὰ ἀποπιέςματα τῶν ςταφυλῶν καὶ τῶν ἐλαῶν.

46. τοῦ κατὰ πολὺ ἐνδόξου. δὶς δὲ τὸ αὐτὸ εἶπεν εἰρωνευόμενος.

47. τοῦ ἀδελφοῦ αὐτοῦ θυγατέρα.

48. ςοβαρὰν τὸ ἦθος.

ἱματίοις καὶ τῇ ἄλλῃ δαπάνῃ περιςςῶς κεκοςμημένην καὶ κεκαλλωπιςμένην ὁμοίως τῇ Κοιςύρᾳ.

Ἡ Κοιςύρα γυνή τις ἦν πάνυ ςεμνῶς ἑαυτὴν καὶ ποικίλως κοςμοῦςα, ὡς τοὺς ὁρῶντας ἐκπλήττεςθαι. ἐκ ταύτης οὖν τὸ γένος εἶλκεν ἡ τούτου γυνή. ἀπὸ τῆς Κοιςύρας δὲ τὸ κοιςυρῶ τὸ καλλωπίζω παρήχθη.

49. εἰς γάμον ἐλάμβανεν

ςὺν αὐτῇ ἐπὶ τῆς κλίνης ἐκείμην.

50. ςανίδος ἐν ᾗ τὰ ςῦκα ταριχεύουςι πρὸς τὸν ἥλιον. ἀπὸ τούτου δὲ τὴν ὀςμὴν δηλοῖ τὴν ἐκ τῶν ςύκων καὶ τῶν λοιπῶν τῶν τοιούτων γινομένην.

51. ὦζε φιλημάτων ἢ ςεμνῶν λόγων.

καταγλώττιςμά ἐςτιν ὅταν ἐν τῷ καιρῷ τῆς ςυνουςίας ὁ ἀνὴρ τὴν γλῶτταν αὐτοῦ τῷ τῆς γυναικὸς ἐμβάλῃ ςτόματι. ἔςτι δὲ καὶ ὁ λαφυγμὸς κατὰ μέν τινας τὸ αὐτό, κατὰ δέ τινας ἡ ἄλογος καὶ καθ' ὑπερβολὴν δαπάνη. ἔςτι γὰρ λάπτω καὶ λαφύςςω τὸ ῥοφῶ

1) So aus den verwandten handschriften corrigiert; οἱ ἄλλοι Vat.

Digitized by Google

κυρίως ἐπὶ κυνῶν καὶ χοίρων. ὅθεν παράγεται καὶ ὁ λαφυγμός. εἰκότως δὲ ταῦτα καταλέγει, δεικνὺς ὅτι αἱ εὐγενεῖς γυναῖκες τοιαῦτα πράττουσιν ὑπὸ τῆς ἄγαν τρυφῆς.

52. ἱστορία ὅπως Κωλιὰς ἡ Ἀφροδίτη ἐκλήθη. Κωλιὰς δὲ ἡ Ἀφροδίτη οὕτως εἴρηται. ἀνήρ τις φθείρας κόρην ἐκ τῶν κώλων ἤτοι τῶν ποδῶν ἐκρεμάσθη καὶ λυθεὶς ἐκ τῆς θεοῦ ἱερὸν ἱδρύσατο Κωλιάδος Ἀφροδίτης ἐπονομάσας. Γενετυλλὶς δὲ ἐκλήθη ὡς γενέσεως αἰτία.

53. ἀργή ἀττικῶς
ἐδαπάνα. ἀνήλισκεν ἀφειδῶς

54. ὃ κατερρωγὸς εἶχον

55. πρόφασιν] τοῦ λόγου

59. ἐνέβαλλες θρυαλλίδα.

θρυαλλὶς κυρίως ὁ τοῦ φωτελίου σπινθήρ, νῦν δὲ καταχρηστικῶς αὐτὸ τὸ φωτέλιον λέγει.

60. ἐπεὶ νῷν] συνίζησις

61. κατ᾽ εἰρωνείαν

62. ὑβριζόμεθα ὑπ᾽ ἀλλήλων

63. τοῦ παιδός

65. τὸ ὄνομα αὐτῷ

66. πρότερον ἐμαχόμεθα ἐχωριζόμεθα μόλις

67. συνήλθομεν αὐτῷ ὄνομα

68. ἐκολάκευε

69. μὴ λάβε ἔξωθεν τὸ ἔσται καιρὸς εἰς τὸ ὅταν, ἀλλ᾽ ἔστιν ἐπιφώνημα σύνηθες ἡμῖν, ὅταν πρὸς τὴν μέλλουσαν τύχην ἀφορῶμεν ἐκπληττόμενοι.

70. ὁ σὸς θεῖος

ξύστις ξύστιδος προπαροξυτόνως εἶδος ἱματίου πορφυροῦ, ᾧ κοσμούμενοι οἱ ἀθληταὶ διὰ μέσης τῆς πόλεως ἐπόμπευον.

71. ὄρος ὁ Φελλεὺς ἐν Ἀττικῇ

72. γοῦναν ἐνδεδυμένος

73. ὁ παῖς οὐδαμῶς

74. εὕρηται εἰς τὸν[1]) χρημάτων καὶ ῥημάτων. ὅπερ οὕτως ἐρεῖς· ἀλλὰ κατέχεε τῶν ῥημάτων ἐμοῦ ἱππικὸν ἔρωτα, τουτέστιν, ἐμοῦ ὡς οὐδὲν δεῖ δαπανᾶν ἀφειδῶς λέγοντος, λῆρον ἡγησάμενος τοὺς λόγους ἀντετίθει αὐτοῖς ὡς ἐραστής ἐστιν ἵππων καὶ οὐδέποτε τούτου ἂν ἀποσταίη. παίζει δὲ παρὰ τὸν ἴκτερον, ὅς ἐστι νόσημα τῇ τοῦ σώματος ἐπιφανείᾳ περιχεόμενον, διὸ καὶ τὸ κατέχεε κατὰ λόγον ἐπέθηκεν.

75. μεθόδου δι᾽ ἧς ἂν ἀπαλλαγείην τῶν χρεῶν

76. ὁδόν, ὃ κοινῶς μονοπάτιον λέγεται.
ἤγουν ἄκρως φρόνιμον

77. ἣν] ὁδόν

78. ἀναστῆσαι τοῦ ὕπνου

1) Zu dieser constr. vgl. unten das schol. zu Ran. 55.

Digitized by Google

79. ὁ διπλασιασμὸς οὗτος τοῦ πῶς ἀπορίας ἐστίν.

81. φίλησον.

παλαιόν: ἔθος ἦν τοῖς παλαιοῖς τὰς δεξιὰς διδόναι ἀλλήλοις εἰς βεβαίωσιν τῶν συνθηκῶν. καὶ Ὅμηρος· „χεῖρας τ' ἀλλήλων λαβέτην καὶ πιστώσαντο.“

84. μὴ εἴπῃς μοι, φησί, τὸν ἵππιον. οὐ γὰρ ἀνέχομαι τὸ τῶν ἵππων ἀκούειν ὄνομα, δι' οὓς ἀπολωλέκειν τὰ χρήματα.

85. ἃ πέπονθα, λέγω δὴ τὴν τῆς οὐσίας ἀπώλειαν καὶ τὸ τῶν χρεῶν βάρος.

88. μετάβαλε οὓς περὶ τὴν ἱππικὴν ἔχεις

89. ἃ ἄν

90. τῷ ἐμῷ κελεύσματι

91. ὅπου ἐγὼ δείξω

93. ἀληθῶς

94. ἀσκητήριον

96. τοὺς ἀκούοντας φοῦρνος

97. κύκλῳ ἡμῶν

98. διδῷ] αὐτοῖς

99. τοῦτο πρὸς τὸ δίκαια κἄδικα σύναπτε

παλαιόν: τοῦτο ψεῦδος διαβολῆς χάριν. οὐδεὶς γὰρ μισθὸν ἐδίδου Σωκράτει, οὗτος γὰρ ἔφασκε μηδὲν εἰδέναι, διόπερ καὶ παρὰ τοῦ Πυθίου σοφὸς ἐκρίθη. τοῦτο γὰρ αὐτοῦ πρῶτον ἔκρινεν εἶναι σοφὸν τὸ γνωρίσαι ὅτι οὐδὲν οἶδε. πῶς οὖν ἂν μισθὸν εἰσέπραττεν ὁ λέγων μηδὲν εἰδέναι; οὐκοῦν ψεῦδος τὸ εἰρημένον.

Schol. Vat. in Ran. 1—93.

§ 32 Ὁ Ξανθίας ἐπὶ ὄνου καθεζόμενος εἰσάγεται καὶ τὰ στρώματα ἐπὶ τῶν ὤμων φέρων γελοίου χάριν. διὸ καὶ ἀστεῖόν τι λέξαι βουλόμενος ὑπὸ Διονύσου κωλύεται.

Ἡ εἴσθεσις τοῦ δράματος εὐθὺς ἐξ ἀμοιβαίων προσώπων ἄρχεται. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϛζ', ὧν τελευταῖος· „βατράχων κύκνων θαυμαστά. κατακέλευε δή.“ ἐπὶ τῷ τέλει κορωνίς.

1. τῶν συνήθων λέγεσθαι εἰς ἡδονὴν θεάτρου δέσποτα] Διόνυσε

2. οἱ θεαταί

3. χωρίς

4. ἐμοί ἤγουν εἰς ὀργήν με κινεῖ

5. χωρίς ὅτι

7. σκόπει

8. μεταθέμενος τὸ ἐπὶ τοῦ ὤμου φορτίον ὀρέγῃ χέσαι

9. μηθ'] ἐρῶ

10. καταβιβάσει ἀπὸ τοῦ ὤμου

11. εἰ μή

Digitized by Google

14. οὗτοι οἱ τρεῖϲ κωμικοί εἰϲι ποιηταὶ ϲκευοφοροῦνταϲ εἰϲάγοντεϲ ἐν ταῖϲ κωμῳδίαιϲ καὶ αἰϲχρὰ ποιοῦνταϲ. ὡϲ ψυχροὶ οὖν διαβάλλονται.

15. ϲκεύη φέρουϲ] τοῖϲ

16. τοῦτο βλέπων, θεατὴϲ ὤν

17. τῶν πράξεων

18. πλέον διὰ τὴν ἀηδίαν γὰρ γηράϲκω

παλαιόν: τοῦτο παρὰ τὸ Ὁμηρικὸν εἴρηται· „αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράϲκουϲιν."

20. ὑπὸ τοῦ φορτίου ἐρεῖ

21. ἡμετέρα ἀτιμία τρυφὴ] αὐτοῦ

22. δέον εἰπεῖν υἱὸϲ Διὸϲ Σταμνίου εἶπε παρ' ὑπόνοιαν, ἐπειδὴ ὁ οἶνοϲ ἐν ϲταμνίῳ βάλλεται. ὁ δὲ Διόνυϲοϲ εἰϲ τὸν οἶνον ἀλληγορεῖται.

23. ὀχεῖϲθαι ποιῶ. νοεῖται δὲ καί τι αἰϲχρὸν, ἀντὶ τοῦ ἐπιβαίνω αὐτοῦ.

26. ὀχοῦμαι τὰ φορτία ἤγουν κούφωϲ ἢ οὔ.

33. ἱϲτορία περὶ τῆϲ ἐν Ἀργινούϲῃ ναυμαχίαϲ. ἐν Ἀργινούϲῃ πόλει τῆϲ Αἰολίδοϲ ἀντικρὺ Λέϲβου κειμένῃ μέλλοντεϲ Ἀθηναῖοι ναυμαχήϲειν πρὸϲ Λακεδαιμονίουϲ, ὁρῶντεϲ ἀϲθενῆ πρὸϲ τοῦτο τὰ ἑαυτῶν πράγματα διὰ τὸ κεκακῶϲθαι πρότερον ἑτέραιϲ τιϲὶ ναυμαχίαιϲ, προεῖπον τοῖϲ δούλοιϲ ὡϲ εἴ τιϲ ϲυναγωνίϲεται ἡμῖν πρὸϲ τὴν ναυμαχίαν τὸ λοιπὸν ἐλεύθεροϲ ἔϲται. ϲυμμαχηϲάντων οὖν τούτων περιεγένοντο τῶν Λακεδαιμονίων.

34. ὄντωϲ θρηνεῖν

35. παλαιόν: ὅτι ἐπιϲημειοῦται[1]) τὴν λέξιν τὸ κατάβα τῷ χ, πρὸϲ τοὺϲ ἀξιοῦνταϲ κατάβηθι λέγεϲθαι μόνον.

36. πορεύομαι ὅπου

37. ἐλθεῖν δοῦλε φημί

38. ἔτυψεν. οὕτωϲ Ἀττικοί.
ἀγρίωϲ δίκην Κενταύρου

39. ἐπεπήδηϲεν ὅϲτιϲ] ἦν
οὔπω τὴν θύραν ἀνοίξαϲ τοῦτο φηϲίν.

40. ὦ παῖ ἤγουν οὐκ ἐπὶ νοῦν ἐβάλου.

41. ὅτι λίαν ἐφοβήθη μήπωϲ
καὶ διὰ τοῦτο λογίζῃ

43. κατέχω

45. εἰμί ἀποδιῶξαι.

46. γυναικείῳ ἐνδύματι ἐκ μετάξηϲ

47. ἤγουν τί βουλόμενοϲ ἀμφοῖν τούτοιν ἐχρήϲω;
ἡνώθηϲαν

κόθορνοϲ κυρίωϲ τὸ ἀμφοτεροδέξιον ὑπόδημα. ἐνταῦθα δὲ

1) Zu ἐπιϲημειοῦται vgl. Lehrs, Pindarscholien s. 96. Ebenso schol. Vat. zu Nub. 562: ἐπιϲημειοῦται τὴν λέξιν τὸ θεώμενοι τῷ χ, ὅτι μετοχῇ ἐχρήϲατο ἀντὶ ὀνόματοϲ.

Digitized by Google

καταχρηϲτικῶϲ τὸ γυναικεῖον ὑπόδημα, ὅ φαϲιν ἰδιωτικῶϲ φελλοπάπουτζον. ἐκπλήττεται δὲ Ἡρακλῆϲ ὁρῶν τὴν ἄτοπον ταύτην ϲκευὴν καὶ ὅτι τὰ ἄμικτα ἔμιξεν. ὁ μὲν γὰρ κροκωτὸϲ καὶ ὁ κόθορνοϲ γυναικεῖά ἐϲτίν, ἡ δὲ λεοντῆ καὶ τὸ ῥόπαλον ἀνδρῷα.

48. ϲυνεναυμάχουν. νοεῖται δὲ καὶ ἄλλο τι αἰϲχρόν, ὅτι καὶ ἐρώμενοϲ ἦν οὗτοϲ Διονύϲου.

49. ἤγουν τὴν ναυμαχίαν κατώρθωϲαϲ.
ἐβυθίϲαμεν εἰϲ τὴν θάλαϲϲαν.

51. ἤγουν ὑμεῖϲ οἱ θηλυμανεῖϲ;
ἐξηγρόμην ἐξ ὕπνου
τὸ ἐξηγρόμην λέγει δεικνὺϲ αὐτὸν ὅτι ὀνείρατα φθέγγεται.

53. Εὐριπίδου δρᾶμα

55. μέγαϲ ὁποῖοϲ ἦν
Ὁ Μόλων ἀνὴρ ἦν μεγάλῳ ϲώματι παρὰ τῆϲ φύϲεωϲ κεκοϲμημένοϲ, ὡϲ τοῖϲ ὁρῶϲι παρέχειν ἔκπληξιν. οἱ γράφοντεϲ δὲ εἰϲ τὸν μακρὸϲ μικρὸϲ οὐ καλῶϲ οἶμαι γράφουϲιν.

57. ἀτταταῖ] βαβαί
αἰϲχρῶϲ ἡνώθηϲ αὐτῷ

58. οὐ γὰρ] τοῦτο ἐϲτί

59. ἐπιθυμία δαμάζει

60. δι᾽ ὑπερβολήν

61. αἰνιγμάτων

62. φάβατοϲ

63. ὡϲ ἀδηφάγον τὸν Ἡρακλέα κωμῳδοῦϲιν.
ἰϲτέον ὅτι οἱ ἀνδρεῖοι καὶ πρὸϲ τὰϲ μάχαϲ θαυμαϲτοὶ ἔτνοϲ ἐϲθίουϲιν ὡϲ ϲυντελοῦν αὐτοῖϲ πλεῖϲτα πρὸϲ τοῦτο, ὡϲ οἱ περὶ ταῦτα δεινοὶ λέγουϲιν.

64. διὰ τοῦ αἰνίγματοϲ τοῦ ἔτνουϲ
ἑτέρωϲ

65. δίδαϲκε

66. ἀφανίζει κατεϲθίει.

68. μὴ οὐ] ϲυνίζηϲιϲ
Σοφοκλέουϲ ἡ διαίρεϲιϲ

70. κατωτέρω] τοῦ Ἅιδου

72. οἱ δεξιοί
παλαιόν: Εὐριπίδου ὁ ϲτίχοϲ ἐξ Οἰνέωϲ· „ϲὺ δ᾽ ὧδ᾽ ἔρημοϲ ξυμμάχων ἀπόλλυϲαι· οἱ μὲν γὰρ οὐκέτ᾽ εἰϲὶν, οἱ δ᾽ ὄντεϲ κακοί.“

73. οὗτοϲ Σοφοκλέουϲ ἦν υἱόϲ.

74. καὶ τοῦτ᾽ ἄρα] ἀγαθόν ἐϲτιν.

75. τὸ ὅπωϲ ἔχει οὕτω νόει· εἴτε αὐτοῦ ἐϲτι δηλονότι τὰ ποιήματα εἴτε τοῦ πατρὸϲ αὐτοῦ Σοφοκλέουϲ. τοιαύτη γὰρ περὶ αὐτοῦ τοὺϲ πολλοὺϲ δόξα κατεῖχε.

76. τῷ χρόνῳ καὶ τῷ τῆϲ ποιήϲεωϲ κάλλει.

77. τινά

79. δοκιμάϲω.
παλαιόν: ἐκ μεταφορᾶϲ τῶν νομιϲμάτων ἢ τῶν ἀγγείων τὸ

κωδωνίcω εἴρηται. οἱ δὲ, ὅτι καὶ τοὺc ἵππουc διὰ κωδώνων ἐδοκίμαζον εἰ θόρυβον ὑπομένειν δύνανται, μήπωc ἐν πολέμῳ εἰc κίνδυνον ὑπ' αὐτῶν ἐμβληθεῖεν.

81. ἀποφυγεῖν

82. μαλακογνώμων

86. ὁ Ξενοκλῆc υἱὸc ἦν Καρκίνου ὡc προείρηται.

87. παλαιόν: τραγῳδίαc ποιητὴc ὁ Πυθάγγελοc μοχθηρὸc καὶ ἄcημοc; ἀκούcαc οὖν Ξανθίαc ὅτι τούτου ἐμνήcθηcαν δούλου ὄντοc, φηcίν· ἐμοῦ δὲ οὐ φροντίζετε οὐδὲ λόγου ἀξιοῦτε.

90. πλέον

91. πλέον πολυλογώτερα. εἰc τοῦτο γὰρ Εὐριπίδηc ἐκακίζετο.

92. [ἐπὶ τῶν φυλῶν φηcὶ τοῦτο von anderer jüngerer hand; om. Laur.]
πολυλογίαι.

ἐπιφυλλίδεc εἰcὶ τὰ ἐν τοῖc βότρυcιν ἐν ἀρχῇ περιττώματα. οἱ δέ φαcι τὰ ἐν κορυφαῖc τῶν κλημάτων ἃ κοινῶc φαcι τζαμπουρίδια. ταῦτα γὰρ οὐχ ὑποκάτω τῶν φύλλων, ὡc οἱ βότρυεc, ἀλλ' ἐπάνω φύονται. δείκνυcι δὲ ἐντεῦθεν ὡc οὐδὲν περὶ λόγουc εἰcί. τὸ δὲ χελιδόνων μουcεῖα παροιμία ἐcτὶν ἐπὶ τῶν πολυλόγων καὶ ἐπαχθῶν ταττομένη. τοιοῦτον γὰρ τὸ τῶν χελιδόνων γένοc, πλέον διὰ τὸ πολὺ τῆc ᾠδῆc ἀνιῶν τοὺc ἀκούονταc ἢ διὰ τὸ μέλοc εὐφραῖνον.

Dies wird zur allgemeinen charakterisierung dieser scholien § 33 genügen. Betrachten wir dieselben näher, so sehen wir zunächst, dass die äusserlich durch die bemerkung παλαιόν unterschiedenen sich auch ihrem wesen nach von den übrigen absondern. Diese scholien kennzeichnen sich sofort als auszüge aus den alten scholien, allerdings zum teil in der fassung verändert, zum teil mit jüngeren zusätzen versehen. Welchen wert sie für die herstellung der alten scholien haben, wird sich mit bestimtheit erst sagen lassen, wenn die überlieferung dieser durch die directen quellen völlig klar festgestellt ist; doch dass dieser wert ein ziemlich geringer ist, lässt sich schon jetzt erkennen.[1]) Übrigens muss die bezeichnung παλαιόν in jedem einzelnen falle auf ihre berechtigung geprüft werden; wenigstens ist die bemerkung zu Nub. 21 sicher nicht aus dem alten scholiencorpus entnommen; und umgekehrt ist manchmal bei scholien, welche unzweifelhaft aus jenem corpus stammen, das ihnen eigentlich gebührende παλαιόν vergessen worden.

Woher stammen nun aber die beiden anderen classen von an-

1) Mitunter haben die alten scholien dem excerptor vielleicht in vollständigerer form vorgelegen; so scheint ein Heliodorisches scholion erhalten in der bemerkung zu Plut. 415: παλαιόν: ὅτι ἡ πενία ἐντεῦθεν παρελθοῦcα μάχεται πρὸc Χρεμύλον καὶ Βλεψίδημον. Vor ὅτι ist zu ergänzen κορωνίc. Vgl. schol. Ach. 204.

Digitized by Google

merkungen (um vorläufig die glossen ausser spiel zu lassen), und wer hat das ganze in der vorliegenden Form zusammengestellt?

Was zunächst die metrischen scholien betrifft, so stimmen dieselben in ihrem charakter genau mit den metrischen scholien zu Aeschylus, welche Triklinius in dem von ihm selbst geschriebenen codex Farnesianus (Dindorf im Philol. XX s. 30 ff. XXI s. 193 ff.) ausdrücklich als sein eigentum bezeichnet. Und damit stimmt widerum die tatsache überein, dass die prolegomena der handschrift mit dem bekannten auszug aus Hephaestion, der in verschiedenen anderen triklinianischen handschriften (vgl. Studemund, Jahrb. für phil. und paed. 1867, s. 610 f.) widerkehrt, und einem eigenen tractat des Demetrius Triklinius beginnen.

Dass die dritte classe der scholien wenigstens zum teil dem Thomas Magister gehört, ist zunächst aus der rein äusserlichen tatsache zu schliessen, dass im Vaticanus selbst die prolegomena mit einer ausdrücklich dem Thomas beigelegten vita schliessen, worauf eine ebenfalls dem Thomas zugeschriebene hypothesis zum Plutus folgt, und dass in einigen mit dem Vaticanus eng verwanten handschriften der name des Thomas ausdrücklich den scholien vorgesetzt wird. So in dem cod. Paris. 2827[1]) (Par. bei Dübner, welche bezeichnung wir adoptieren), welcher dem Vaticanus sehr nahe steht und dieselben drei arten von scholien wie dieser enthält, nur darin unterschieden, dass er die bezeichnung παλαιόν weglässt und dass er mitunter scholien von der art zusetzt, die wir unten § 41. 42 als Moschopulische erkennen werden, ja sogar vereinzelt bemerkungen, die sich sonst nur in M finden. In diesem codex stehen als überschrift der gesamten scholien zum Plutus, vor schol. 1 (nicht, wie Dübner angiebt, hinter demselben) die worte σχόλιον τοῦ λογιωτάτου ^ει δι^ μαγίστρου (sic), und ferner ebenso vor dem ersten schol. zu den Wolken die worte σχο^λ τοῦ αὐτοῦ κυρίου θωμᾶ τοῦ μαγίστρου.

Das ist freilich zunächst nur eine stütze für die annahme, dass die scholien dieser handschrift ganz oder teilweise auf Thomas Magister zurückgeführt wurden; ob dies mit recht geschah, und welche bestandteile etwa auf Thomas zurückgehen möchten, ist daraus nicht zu ersehen, da der schreiber der hs. (oder auch schon der seiner vorlage) in der widergabe dieser überschriften sehr wenig genau verfahren ist. Während sie ursprünglich offenbar nur eine classe dieser scholien bezeichnen sollten, hat er sie als überschrift der ge-

---

1) Papierhandschr. des XV. jh. Vorgeheftet sind 10 blätter Pseudophokylides. Die eigentliche handschrift enthält Aristoph. Plutus und Nubes. Jener nimmt (mit den proleg. u. hypoth.) fünf quaternionen ein, diese sechs und zwei blätter. Die proleg. (prol. XII, hyp. Plut. III. II. IV, prol. XVI) beginnen auf der rückseite des blattes: die vorderseite enthält musikalische noten mit der überschrift καταβαςία ποίη^μ κυρίου μανουὴλ τοῦ γαζῆ: η^χ δ'''.

Digitized by Google

samten von ihm copierten scholienmasse aufgefasst und daher im Plutus vor ein sicher triklinianisches scholion gesetzt. Zu welcher classe von scholien aber jene überschriften in der tat gehörten, ersehen wir aus einer anderen handschrift, dem cod. Paris. 2820 (F Dübn.).[1]) Auch diese handschrift trägt an der spitze der scholien zum Plutus die notiz σχόλαιον τοῦ μαγίστρου. Sie giebt aber zu den drei stücken des Aristophanes, die in ihr enthalten sind (Plutus Nubes Ranae) nur diejenigen scholien des Vaticanus, die nicht metrisch und nicht als παλαιά bezeichnet sind. Dass hier nicht ein auszug aus dem scholiencorpus des Vaticanus vorliegt, sondern dass vielmehr die metrischen scholien und die παλαιά des Vaticanus ein zusatz zu jenen scholien des Paris. 2820 sind, liegt auf der hand: wir können also nicht umhin anzunehmen, dass jene scholien des Paris. 2820 in der tat von Thomas Magister herrühren, dass Triklinius sie in seine ausgabe einfach aufgenommen und ihnen teils auszüge aus den alten scholien, teils seine eigenen metrischen bemerkungen hinzugefügt hat.

Doch hier macht uns ein umstand bedenklich. Diese scholien, die uns durch äussere indicien als thomanisch insinuiert werden, zeigen alle jene inneren kennzeichen, jene eigentümlichkeiten des stils und der betrachtungsweise, welche Lehrs in seinem buche über die Pindarscholien s. 78 ff. als für Triklinius charakteristisch aufführt! Sollte auch für diese scholien zu Aristophanes die überschrift „θωμᾶ τοῦ μαγίστρου“ ein falsificat sein, dessen ursprung nachzugehen sehr unnötig wäre, wie Lehrs es s. 98 für die Pindarscholien behauptet?

Zwar diese behauptung selbst ist eine sehr kühne, um nicht zu sagen leichtfertige. Durch reinen zufall kann der name des Thomas Magister doch weder zu den Aristophanesscholien noch zu den Pindarischen gekommen sein. Und er steht auch bei beiden zu recht da, wie wir aus eben den inneren indicien erweisen können, die Lehrs für Triklinius aufführt. Denn, um es kurz zu machen, jene eigentümlichkeiten, welche Lehrs s. 78 ff. aufzählt, sind, soweit sie überhaupt etwas beweisen, beweisend nicht für Triklinius, sondern für Thomas.

Lehrs hat den grossen fehler begangen, für die erkenntnis der eigentümlichkeiten des Triklinius die unter dessen namen erhaltenen scholien zu Sophokles zu grunde zu legen (s. 72), während wir doch einen von Triklinius' eigner hand geschriebenen codex besitzen, in dem er sein eigentum ausdrücklich von dem anderswoher entnommenen unterscheidet, nämlich den schon erwähnten Farnesianus des Aeschylus. Von diesem musste ausgegangen werden, und § 34

1) Mit welchem nahe verwant ist der Barocc. 127 (membr. saec. XV), der aber nur eine auswahl von scholien giebt, und zu anfang verstümmelt ist.

es ist kaum verständlich, wie Lehrs unterlassen konnte dies zu tun, da doch die scholien des Farn. zu Agam. und Septem von Dindorf schon 1863 und 1864 (in bd. XX und XXI des Philologus), also 10 Jahre vor erscheinen des Lehrsschen buches, abgedruckt waren!

Sehen wir uns nun diese scholien des Farnesianus an, so gelangen wir zu wesentlich anderen resultaten als Lehrs. Dindorf hat nur die scholien zum Agamemnon und den Septem mitgeteilt, aber diese genügen um die tätigkeit des Triklinius und sein verhältnis zu seinen vorgängern zu charakterisieren. Zum Agamemnon sind zwei classen von bemerkungen hinzugeschrieben, durch die bezeichnung unterschieden; die einen sind als παλαιά bezeichnet: das sind auszüge aus den alten (mediceischen) scholien oder bearbeitungen derselben; die anderen sind durch ein jedesmal vorgesetztes ἡμέτερον als eigentum des Triklinius gekennzeichnet. Diese letzteren sind teils metrisch, teils erklärend, zum grössten teil aber enthalten sie nur paraphrase, und diese paraphrase zeigt einen ganz bestimten eigentümlichen charakter und stil. Beispielsweise sei hier ein stück hergesetzt (zu v. 105—120): *ἔτι γὰρ* ὁ *σύμφυτός* μοι *αἰών*, ἤγουν ἡ μέχρι τοῦ νῦν παραταθεῖσά μοι ζωὴ καὶ τὸ γῆρας *καταπνέει* μοι *πειθῷ θεόθεν* καὶ *μολπὴν* καὶ *ἀλκήν*, ἤγουν καταπείθει με καὶ δίδωσί μοι ἀλκὴν καὶ δύναμιν μέλπειν καὶ λέγειν *ὅπως* τὸ *δίθρονον κράτος* τῶν *Ἀχαιῶν*, ἤτοι τοὺς δύο βασιλεῖς καὶ τὴν *ἥβην* τῆς *Ἑλλάδος*, τουτέστι τὴν ἀκμαίαν ἡλικίαν, τὴν *σύμφρονα* καὶ ὁμόφρονα *τάξιν*, ἤγουν τὰ τάγματα τὰ ὁμόφρονα, *πέμπει* ἐπὶ τὴν γῆν *τὴν Τευκρίδα* καὶ τὴν Τρωικὴν *σὺν δορὶ* ἤτοι πολέμῳ καὶ μάχῃ *πράκτορι δίκης*, ἤγουν εἰσπραξομένῳ δίκην καὶ τιμωρίαν, ὁ *θούριος* καὶ ὁρμητικὸς *ὄρνις*, ἤτοι ὁ ἀετός, ὁ *βασιλεὺς* τῶν *οἰωνῶν*, τουτέστι τὰ ἐνόδια σύμβολα ταῦτα ἔπεμψαν αὐτοὺς πρὸς τὴν Τροίαν. τὰ ἑξῆς δὲ δέον συνδεδεμένως εἰπεῖν, ὁ δὲ ἀσυνδέτως ἐπήνεγκεν. ὁ γὰρ *κελαινὸς* καὶ μέλας αἰετὸς καὶ ὁ *ἐξόπιν ἀργίας*, ἤγουν ὁ πύγαργος, *φανέντες* τοῖς *βασιλεῦσι* τῶν *νεῶν ἴκταρ* καὶ ἐγγὺς τῶν *μελάθρων* αὐτῶν ἐν ταῖς *παμπρέπτοις* καὶ εὐπρεπέσιν *ἕδραις*, λέγω *ἐκ* τῆς *δορυπάλτου χειρὸς* ἤτοι τῆς δεξιᾶς, *ἐφέρβοντο* καὶ ἤσθιον *λαγίναν γένναν*, ἤτοι λαγωῶν, *ἐρικύμονα* καὶ ἄγαν ἐγκυμονοῦσαν καὶ τίκτουσαν *βοσκομένην*, *βλαβέντα* τῶν *λοισθίων δρόμων*, ἤτοι βλάβην σχόντα ἐκ τῶν τελευταίων αὐτοῦ δρόμων.

Auch die scholien zu den Septem zerfallen in zwei äusserlich kenntlich gemachte classen. Die mit ἡμέτερον bezeichneten sind freilich etwas anderer art, als die zum Agamemnon. Die metrischen scholien sind viel umfangreicher, und mit zahlreichen kritischen und polemischen bemerkungen durchsetzt (welche zum Ag. fast gänzlich fehlen); die erklärung tritt sehr zurück, und eigentliche paraphrase tritt nur an einigen stellen ein (zu v. 400. 521. 576. 602). Das hat seinen grund darin, dass schon eine ältere paraphrase oder wenigstens etwas dem entsprechendes vorlag in den σχόλια παλαιά,

Digitized by Google

welche Triklinius aufgenommen hat und durch seine eigenen scholien offenbar nur ergänzen will. Diese παλαιά aber sind nach der ausdrücklichen überschrift τοῦ αὐτοῦ μαγίστρου σχόλια. Hier werden wir an der authenticität der überschrift nicht zweifeln dürfen, hier haben wir sicher Thomas vor uns, haben Thomas und Triklinius nebeneinander und können beide vergleichen.

